τετρυχωμένων μετὰ ἀνδρείας τε ἅμα καὶ τῶν πόνων. Ταῦτα
οὖν δὴ δι᾽ ἀκριβείας μὲν ἱκανῆς, ὡς καὶ νυνὶ ζητοῖμεν ἄν,
ἴσως οὐκ ἄν ποτε γένοιτο, μέχριπερ ἂν γυναῖκές τε καὶ
παῖδες οἰκήσεις τε ἴδιαι καὶ ἰδίως ἅπαντ᾽ ᾖ τὰ τοιαῦτα
ἑκάστοις ἡμῶν κατεσκευασμένα· τὰ δὲ μετ᾽ ἐκεῖν᾽ αὖ δεύ-
τερα τὰ νῦν λεγόμενα εἰ γίγνοιτο ἡμῖν, γίγνοιτο ἂν καὶ μάλα
μετρίως. Ἔργον δὲ δὴ τοῖς οὕτω ζῶσίν φαμεν οὐ τὸ σμικρό- c
τατον οὐδὲ τὸ φαυλότατον λείπεσθαι, μέγιστον δὲ πάντων
εἶναι προστεταγμένον ὑπὸ δικαίου νόμου· τοῦ γὰρ πᾶσαν
τῶν ἄλλων πάντων ἔργων βίου ἀσχολίαν παρασκευάζοντος,
τοῦ Πυθιάδος τε καὶ Ὀλυμπιάδος νίκης ὀρεγομένου, διπλα-
σίας τε καὶ ἔτι πολλῷ πλέονος ἀσχολίας ἐστὶν γέμων ὁ περὶ
τὴν τοῦ σώματος πάντως καὶ ψυχῆς εἰς ἀρετὴν ἐπιμέλειαν
βίος εἰρημένος ὀρθότατα. Πάρεργον γὰρ οὐδὲν δεῖ τῶν d
ἄλλων ἔργων διακώλυμα γίγνεσθαι τῶν τῷ σώματι προση-
κόντων εἰς ἀπόδοσιν πόνων καὶ τροφῆς, οὐδ᾽ αὖ ψυχῇ μαθη-
μάτων τε καὶ ἐθῶν, πᾶσα δὲ νύξ τε καὶ ἡμέρα σχεδὸν οὐκ
ἔστιν ἱκανὴ τοῦτ᾽ αὐτὸ πράττοντι τὸ τέλεόν τε καὶ ἱκανὸν
αὐτῶν ἐκλαμβάνειν.

Οὕτω δὴ τούτων πεφυκότων, τάξιν δεῖ γίγνεσθαι
πᾶσιν τοῖς ἐλευθέροις τῆς διατριβῆς περὶ τὸν χρόνον e
ἅπαντα, σχεδὸν ἀρξάμενον ἐξ ἕω μέχρι τῆς ἑτέρας ἀεὶ
συνεχῶς ἕω τε καὶ ἡλίου ἀνατολῆς. Πολλὰ μὲν οὖν καὶ
πυκνὰ καὶ σμικρὰ λέγων ἂν τις νομοθέτης ἀσχήμων φαίνοιτο
περὶ τῶν κατ᾽ οἰκίαν διοικήσεων, τά τε ἄλλα καὶ ὅσα νύκτωρ
ἀυπνίας πέρι πρέπει τοῖς μέλλουσιν διὰ τέλους φυλάξειν
πᾶσαν πόλιν ἀκριβῶς. Τὸ γὰρ ὅλην διατελεῖν ἡντινοῦν νύκτα
εὕδοντα καὶ ὁντινοῦν τῶν πολιτῶν, καὶ μὴ φανερὸν εἶναι